𝔊 ἐσχάτου τῶν ἡμερῶν, ἔτι γὰρ ὅρασις εἰς ἡμέρας. [15]καὶ ἐν τῷ αὐ- 15
τὸν λαλῆσαι μετ᾽ ἐμοῦ τὰ προστάγματα ταῦτα ἔδωκα τὸ πρόσωπόν
μου ἐπὶ τὴν γῆν καὶ ἐσιώπησα. [16]καὶ ἰδοὺ ὡς ὁμοίωσις χειρὸς 16
ἀνθρώπου ἥψατό μου τῶν χειλέων· καὶ ἤνοιξα τὸ στόμα μου καὶ
ἐλάλησα καὶ εἶπα τῷ ἑστηκότι ἀπέναντί μου Κύριε, καὶ ὡς ὅρασις
ἀπεστράφη ἐπὶ τὸ πλευρόν μου ἐπ᾽ ἐμέ, καὶ οὐκ ἦν ἐν ἐμοὶ ἰσχύς·
[17]καὶ πῶς δυνήσεται ὁ παῖς λαλῆσαι μετὰ τοῦ κυρίου αὐτοῦ; καὶ 17
ἐγὼ ἠσθένησα, καὶ οὐκ ἔστιν ἐν ἐμοὶ ἰσχύς, καὶ πνεῦμα οὐ κατ-
ελείφθη ἐν ἐμοί. [18]καὶ προσέθηκε καὶ ἥψατό μου ὡς ὅρασις ἀνθρώ- 18
που καὶ κατίσχυσέ με [19]καὶ εἶπέ μοι Ἄνθρωπος ἐλεεινὸς εἶ, μὴ 19
φοβοῦ, ὑγίαινε· ἀνδρίζου καὶ ἴσχυε. καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ᾽
ἐμοῦ ἴσχυσα καὶ εἶπα Λαλησάτω ὁ κύριός μου, ὅτι ἐνίσχυσέ με.
[20]καὶ εἶπεν πρός με Γινώσκεις τί ἦλθον πρὸς σέ; καὶ νῦν ἐπι- 20
στρέψω διαμάχεσθαι μετὰ τοῦ στρατηγοῦ βασιλέως τῶν Περσῶν·
καὶ ἐγὼ ἐξεπορευόμην, καὶ ἰδοὺ στρατηγὸς Ἑλλήνων εἰσεπορεύετο.
[21]καὶ μάλα ὑποδείξω σοι τὰ πρῶτα ἐν ἀπογραφῇ ἀληθείας, καὶ 21
οὐθεὶς ἦν ὁ βοηθῶν μετ᾽ ἐμοῦ ὑπὲρ τούτων ἀλλ᾽ ἢ Μιχαηλ ὁ ἄγ-
γελος· [1]καὶ ἐν τῷ ἐνιαυτῷ τῷ πρώτῳ Κύρου τοῦ βασιλέως εἶπέν 11

14 ορασις ed. (cf. θ′)] ωρα 88 Sy: σις excidit ante εις || 16 εν] επ 88

---

θ′ σις εἰς ἡμέρας. [15]καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ᾽ ἐμοῦ κατὰ τοὺς 15
λόγους τούτους ἔδωκα τὸ πρόσωπόν μου ἐπὶ τὴν γῆν καὶ κατενύ-
γην. [16]καὶ ἰδοὺ ὡς ὁμοίωσις υἱοῦ ἀνθρώπου ἥψατο τῶν χειλέων 16
μου· καὶ ἤνοιξα τὸ στόμα μου καὶ ἐλάλησα καὶ εἶπα πρὸς τὸν
ἑστῶτα ἐναντίον ἐμοῦ Κύριε, ἐν τῇ ὀπτασίᾳ σου ἐστράφη τὰ ἐν-
τός μου ἐν ἐμοί, καὶ οὐκ ἔσχον ἰσχύν· [17]καὶ πῶς δυνήσεται ὁ 17
παῖς σου, κύριε, λαλῆσαι μετὰ τοῦ κυρίου μου τούτου; καὶ ἐγὼ
ἀπὸ τοῦ νῦν οὐ στήσεται ἐν ἐμοὶ ἰσχύς, καὶ πνοὴ οὐχ ὑπελείφθη
ἐν ἐμοί. [18]καὶ προσέθετο καὶ ἥψατό μου ὡς ὅρασις ἀνθρώπου καὶ 18
ἐνίσχυσέν με [19]καὶ εἶπέν μοι Μὴ φοβοῦ, ἀνὴρ ἐπιθυμιῶν, εἰρήνη 19
σοι· ἀνδρίζου καὶ ἴσχυε. καὶ ἐν τῷ λαλῆσαι αὐτὸν μετ᾽ ἐμοῦ ἴσχυ-
σα καὶ εἶπα Λαλείτω ὁ κύριός μου, ὅτι ἐνίσχυσάς με. [20]καὶ εἶπεν 20
Εἰ οἶδας ἵνα τί ἦλθον πρὸς σέ; καὶ νῦν ἐπιστρέψω τοῦ πολεμῆ-
σαι μετὰ ἄρχοντος Περσῶν· καὶ ἐγὼ ἐξεπορευόμην, καὶ ὁ ἄρχων
τῶν Ἑλλήνων ἤρχετο. [21]ἀλλ᾽ ἢ ἀναγγελῶ σοι τὸ ἐντεταγμένον ἐν 21
γραφῇ ἀληθείας, καὶ οὐκ ἔστιν εἷς ἀντεχόμενος μετ᾽ ἐμοῦ περὶ
τούτων ἀλλ᾽ ἢ Μιχαηλ ὁ ἄρχων ὑμῶν· [1]καὶ ἐγὼ ἐν ἔτει πρώτῳ 11

15 και κατενυγην > B*† || 16 μου $1^0 \frown 2^0$ A† || 17 πνοη] πνευμα B† = 𝔊 || 20 ειπεν] + μοι A | επιστρεφω A | αρχοντος] pr. του B, -των A† | εξεπορ.] εισεπ. B† | ο > B*† || 21 περι] υπερ A† | η ult.] ημιν A†
11 1 ετει] pr. τω B*†